[5b10] (9)[1] Belki bu da sorulabilir, yani itilenin niçin yalnızca dairesel <devinen>ler olduğu. Öte yandan bunlar devingen varolanlar olsalar bile hiçbiri orta[2] ile doğrudan ilişkili değil. Acaba güçsüz oldukları için mi, yoksa aslolanın <onları aşıp ortaya> ulaşmayan bir şey olması sebebiyle mi? Fakat eğer zayıflıktan ötürü böyleyse, bu[3] saçma; nitekim <aslolanın> Homeros'un "sizinle[4] beraber yeri de denizi de sürüklerim" diyen Dios'undan[5] daha güçlü olması beklenir. Geriye kalan ise alıcı olmayan ve bağlantısız bir şey olur.

---

[1] [Aristoteles, *Oluş ve Bozuluş Üzerine*, 335a25-30] Mademki bazı şeyler oluş ve bozuluşa tabidir ve oluşlar genel olarak merkez civarı bir yerde gerçekleşir, tüm oluşların niceliği ve bunların hangi ilkelere dayandığı hakkında konuşalım; nitekim bu şekilde, yani önce tümelleri kavradığımızda, tek teklere ilişkin incelememiz de daha rahat ilerleyecektir.

****

[Aristoteles, *Oluş ve Bozuluş Üzerine*, 336b28-31] Doğanın daima ve her şeyde daha iyiye iştah duyduğunu ve var olmanın var olmamaktan daha iyi olduğunu (var olmanın farklı anlamlarını başka bir yerde dile getirmiştik), bunun ise onların ilkelerden epey uzaklaşmış olmaları sebebiyle her şeyde bulunmasının imkânsız söylüyoruz.

[2] Ya da "merkez". Ayaltı dünya.

[3] Beriki.

[4] Zeus kendisine meydan okumaya kalkışan diğer tanrılara sesleniyor.

[5] Zeus.

(10)[1] Τάχα δὲ πρότερον ζητήσειεν ἄν τις πῶς ἔχει, πότερα μέρη ταῦτα ἢ οὐ μέρη τοῦ οὐρανοῦ, καὶ εἰ μέρη, πῶς μέρη· νῦν γὰρ οἷον ἀπεωσμένα τῶν ἐντιμοτάτων οὐ μόνον κατὰ τὰς χώρας ἀλλὰ καὶ κατὰ τὴν ἐνέργειαν, εἴπερ ἡ κυκλικὴ τοιαύτη· συμβαίνει γὰρ οἷον κατὰ συμβεβηκὸς ὑπὸ τῆς κυκλικῆς περιφορᾶς καὶ εἰς τοὺς τόπους καὶ εἰς ἄλληλα τὰς μεταβολάς.

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 985a5-10] εἰ γὰρ τις ἀκολουθοίη καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν τὸ δὲ νεῖκος τῶν κακῶν: ὥστ᾽ εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ᾽ ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον αὐτὸ τἀγαθόν ἐστι καὶ τῶν κακῶν τὸ κακόν.

[5b19] (10)[1] Belki de önce nasıl? diye sorulabilir: Acaba bunlar[2] göğün kısımları mı, yoksa değil mi, ve eğer <göğün> kısımlarıysalar, <bunlar> nasıl kısımlar? Şimdi bunlar en değerli şeylerden yalnızca yer bakımından değil ama etkinlik bakımından da itilmiş şeylerdir—tabii eğer dairesel <devinim> böyle bir şeyse. Nitekim yere göre ve birbirlerine doğru değişimleri ilineksel olarak dairesel yer değiştirme tarafından sağlanır.

[1] [Aristoteles, *Metafizik*, 985a5-10] Nitekim eğer biri bozuk/kekeleyen diline karşın Empedokles'in fikirlerini takip edebilir ve kavrarsa, dostluğun iyinin, kininse kötünün nedeni olduğunu fark edecektir; o halde eğer biri Empedokles'in bir anlamda 'iyi' ve 'kötü'nün ilkeler olduğunu söylediğini ve bunu söyleyen ilk kişi olduğunu öne sürerse, güzelce konuşmuş olabilir, tabii eğer tüm iyi olanların nedeni iyinin kendisi ise [kötülerinki de kötünün].

[2] Ayaltı dünyanın varolanları.

(10.1)[1] Εἰ δὲ καὶ τὸ ἄριστον ἀπὸ τοῦ ἀρίστου, κάλλιον ἄν τι παρὰ τοῦ πρώτου δέοι τῆς κυκλοφορίας—εἰ μὴ ἄρ' ἐκωλύετο τῷ μὴ δύνασθαι δέχεσθαι—τὸ γὰρ δὴ πρῶτον καὶ θειότατον πάντα τὰ ἄριστα βουλόμενον. Τάχα δὲ τοῦτο μὲν οἷον ὑπερβατόν τι καὶ ἀζήτητον—ἀξιοῖ γὰρ ὁ τοῦτο λέγων ἅπανθ' ὅμοια καὶ ἐν τοῖς ἀρίστοις εἶναι, μικράν τιν' ἢ μηδεμίαν ἔχοντα διαφοράν—

(11) τόδε δ'ἄν τις ἴσως ἀπορήσειεν πρὸς αὐτὸν τὸν πρῶτον οὐρανὸν ἀναφέρων, πότερον ἡ περιφορὰ τῆς οὐσίας ἐστὶν αὐτοῦ καὶ ἅμα τῷ πεπαῦσθαι φθείροιτ'ἄν, ἤ, εἴπερ ἐφέσει τινὶ καὶ ὀρέξει, κατὰ συμβεβηκός· εἰ μὴ ἄρα σύμφυτον αὐτῷ τὸ ὀρέγεσθαι καὶ οὐθὲν κωλύει τοιαῦτ' ἄττα τῶν ὄντων ὑπάρχειν.

(12) Ἴσως δ' ἂν εἴη καὶ ἀφελόντα τὴν ὄρεξιν ὑπὲρ αὐτῆς τῆς κινήσεως ἀπορεῖν, εἰ ἀφαιρεθεῖσα φθείροι ἂν τὸν οὐρανόν.

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1075a11-23] ἐπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τοῦ ὅλου φύσις τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, πότερον κεχωρισμένον τι καὶ αὐτὸ καθ᾽ αὑτό, ἢ τὴν τάξιν. ἢ ἀμφοτέρως ὥσπερ στράτευμα; καὶ γὰρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον οὗτος: οὐ γὰρ οὗτος διὰ τὴν τάξιν ἀλλ᾽ ἐκείνη διὰ τοῦτόν ἐστιν. πάντα δὲ συντέτακταί πως, ἀλλ᾽ οὐχ ὁμοίως, καὶ πλωτὰ καὶ πτηνὰ καὶ φυτά: καὶ οὐχ οὕτως ἔχει ὥστε μὴ εἶναι θατέρῳ πρὸς θάτερον μηδέν, ἀλλ᾽ ἔστι τι. πρὸς μὲν γὰρ ἓν ἅπαντα συντέτακται, ἀλλ᾽ ὥσπερ ἐν οἰκίᾳ τοῖς ἐλευθέροις ἥκιστα ἔξεστιν ὅ τι ἔτυχε ποιεῖν, ἀλλὰ πάντα ἢ τὰ πλεῖστα τέτακται, τοῖς δὲ ἀνδραπόδοις καὶ τοῖς θηρίοις μικρὸν τὸ εἰς τὸ κοινόν, τὸ δὲ πολὺ ὅ τι ἔτυχεν: τοιαύτη γὰρ ἑκάστου ἀρχὴ αὐτῶν ἡ φύσις ἐστίν.

[26] (10.1)[1] Ama eğer en iyi de en iyiden çıkıyorsa, aslolandan dairesel yer değiştirmeyi aşan bir şey çıkmalı (tabii eğer alma imkânı taşımamak bakımından engellenmezlerse), nitekim aslolan ve en tanrısal olan tüm en iyileri isteyendir. Fakat belki de bu <iddia> üzerinde durulmayan ve soruşturulmamış bir şey gibi <görünebilir> —zira bunu söyleyen biri her şeyi küçük farklarla veya hiç fark olmaksızın benzer ve en iyiler arasında olarak değerlendirir—
[6a5] (11) Öte yandan birinci göğün kendisine yönelik ise belki de şu açmaza düşülebilir: Acaba dönüş hareketi onun *ousia*sına ait bir şey midir ve durmuş olmasıyla birlikte <o da> ortadan kalkar mı, yoksa —<dönüş hareketi> bir çeşit itki ve iştahla <gerçekleşiyorsa>— bu ilineksel midir? Tabii eğer iştah duymak onun doğasına ait bir şey değilse ve bazı varolanların böyle olmasına engel hiçbir şey yoksa.
[6a12] (12) Belki de, iştah göz ardı edilirse, devinimin kendisi hakkında bir açmaza sürüklenilebilir: Acaba onun devre dışı kalışı göğün de ortadan kalkması anlamına mı gelir?

---

[1] [Aristoteles, *Metafizik*, 1075a11-23] Bütünün doğasının iyiye ve en iyiye nasıl sahip olduğu dikkate alınmalı, acaba müstakil ve kendi gereği kendisi olan bir şey olarak mı, yoksa bir sıra düzeni içinde mi? Yoksa tıpkı seferdeki birlikler gibi ikisi bir arada mı? Zira orada iyi olan hem düzende hem de komutanda, daha ziyade de berikinde, zira o düzenden ötürü var değil, ama öteki onun sayesinde var. Her şey (balıklar, kuşlar, bitkiler...) bir biçimde bir düzen içinde bir arada, ancak benzer şekilde değil; ama öyle birinin diğeriyle bir ilişkisi olmaması gibi de değil, aksine bir ilişki var. Zira 'bir'e doğru her şey bir sıra düzeni içinde bir arada, tıpkı bir evde özgür olanlar için gelişigüzel eylemenin en az izin verilir bir şey olması, ancak <davranışların> hepsinin veya çoğunun önceden düzenlenmiş olması, öte yandan kölelerin ve çiftlik hayvanlarının yapıp etmelerinin küçük bir kısmının ortak <iyiye> yönelik, bunların büyük bölümününse gelişigüzel olması gibi (nitekim onların her birinin doğası bu tür bir ilkedir).

(13)[1] Καὶ τοῦτο μὲν ὥσπερ ἑτέρων λόγων, ἀπὸ δ' οὖν ταύτης ἢ τούτων τῶν ἀρχῶν ἀξιώσειεν ἄν τις (τάχα δὲ καὶ ἀπὸ τῶν ἄλλων ἄρ', ἄν τις τίθηται) τὰ ἐφεξῆς εὐθὺς ἀποδιδόναι καὶ μὴ μέχρι του προελθόντα παύεσθαι. Τοῦτο γὰρ τελέου καὶ φρονοῦντος ὅπερ Ἀρχύτας ποτ' ἔφη ποιεῖν Εὔρυτον διατιθέντα τινὰς ψήφους· λέγειν γὰρ ὡς ὅδε μὲν ἀνθρώπου ὁ ἀριθμός, ὅδε δὲ ἵππου, ὅδε δ' ἄλλου τινὸς τυγχάνει. Νῦν δ' οἵ γε πολλοὶ μέχρι τινὸς ἐλθόντες καταπαύονται, καθάπερ καὶ οἱ τὸ ἓν καὶ τὴν ἀόριστον δυάδα ποιοῦντες

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1092b9-16] οὐθὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι τῶν οὐσιῶν καὶ τοῦ εἶναι, πότερον ὡς ὅροι (οἷον αἱ στιγμαὶ τῶν μεγεθῶν, καὶ ὡς Εὔρυτος ἔταττε τίς ἀριθμὸς τίνος, οἷον ὁδὶ μὲν ἀνθρώπου ὁδὶ δὲ ἵππου, ὥσπερ οἱ τοὺς ἀριθμοὺς ἄγοντες εἰς τὰ σχήματα τρίγωνον καὶ τετράγωνον, οὕτως ἀφομοιῶν ταῖς ψήφοις τὰς μορφὰς τῶν φυτῶν), ἢ ὅτι ὁ λόγος ἡ συμφωνία ἀριθμῶν, ὁμοίως δὲ καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον; τὰ δὲ δὴ πάθη πῶς ἀριθμοί, τὸ λευκὸν καὶ γλυκὺ καὶ τὸ θερμόν;

****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 993b19-31] ὀρθῶς δ᾽ ἔχει καὶ τὸ καλεῖσθαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας. θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια πρακτικῆς δ᾽ ἔργον: καὶ γὰρ ἂν τὸ πῶς ἔχει σκοπῶσιν, οὐ τὸ ἀΐδιον ἀλλ᾽ ὃ πρός τι καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας: ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων καθ᾽ ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον (οἷον τὸ πῦρ θερμότατον: καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος): ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας (οὐ γάρ ποτε ἀληθεῖς, οὐδ᾽ ἐκείναις αἴτιόν τί ἐστι τοῦ εἶναι, ἀλλ᾽ ἐκεῖναι τοῖς ἄλλοις), ὥσθ᾽ ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας.

[6a15] (13)[1] Bu da başka bir tartışmanın konusu gibi, ama şimdi biri bundan ve bu ilkelerden hareketle (belki de diğerlerinden de hareketle, biri <bunları> ortaya koyabilir) daha sonra gelenlerin[2] doğrudan verilmesini ve belli bir noktaya kadar gelip de orada durulmamasını bekleyebilir. Zira aklıbaşında bir yetişkinin <yapacağı> budur, tıpkı Arkhytas'ın zamanın birinde birtakım çakılları yerleştirirken Eurytos'un yaptığını söylediği gibi. Nitekim <Arkhytas, Eurytos'un> "bu insanın sayısı, bu atın, bu ise rastgele başka bir şeyin" dediğini <söyler>.

---

[1] [Aristoteles, *Metafizik*, 1092b9-16] Öte yandan, sayıların hangi anlamda *ousia*ların ve var olmanın nedeni olduklarının ayrımı hiçbir şekilde yapılmamıştır; acaba sınırlar olarak mı (noktaların büyüklüklerin sınırı olması gibi ve Eurytos'un her bir şeye bir sayı ataması gibi, sözgelişi insan için <şu sayı> ve at için <bu>, tıpkı sayıları üçgen ve dörtgen gibi <geometrik> şekiller olarak düzenleyen, bu şekilde doğal olanların *form*larını çakıl taşlarıyla taklit edenler gibi), ya da seslerin uyumu ve benzer şekilde insan ve diğer her bir şey sayıların oranı olduğu için mi? Öte yandan beyaz, tatlı ve sıcak gibi özellikler nasıl sayı olacaklar?

****

[Aristoteles, *Metafizik*, 993b19-31] Felsefeye "hakikatin bilgisi" denmesi dosdoğrudur. Nitekim temaşa etmeye dayalı <bilgi türlerinin> ereği hakikattir, yapıp-etmeye dair olanlarınkiyse iş/etkinlik; zira yapıp-etmelerle meşgul olanlar bir şeyin nasıl olduğunu araştırsalar bile, ezeli olanı değil, göreli ve şimdi olanı temaşa ederler. Ama nedenler olmaksızın hakikati bilemeyiz; öte yandan <kaynağı olduğu niteliğin> eşadlısı kendisi aracılığıyla başkalarında da ortaya çıkan her bir şey en çok ve diğerlerinden <ziyade> odur (sözgelişi ateş en sıcak olandır, çünkü diğerlerinin sıcaklığının nedeni odur). O halde sonra gelen şeylerin doğru olmalarının nedeni olan onlardan daha doğrudur. Bu yüzden de daimi varolanların nedenlerinin de daima en doğru olması zorunlu. Nitekim <bunlar yalnızca> bazen doğru değiller, ne de öncekilerin var olmalarının bir nedeni vardır, aksine öncekiler başkalarının <nedenleridir>, her bir şey, tıpkı var olmaya sahip olduğu gibi, aynı şekilde, hakikate de sahiptir.

[2] Ya da "sıradakilerin", "ardılların" (*epheksês*).

τοὺς γὰρ ἀριθμοὺς γεννήσαντες καὶ τὰ ἐπίπεδα καὶ τὰ σώματα σχεδὸν τὰ ἄλλα παραλείπουσιν πλὴν ὅσον ἐφαπτόμενοι καὶ τοσοῦτο μόνον δηλοῦντες, ὅτι τὰ μὲν ἀπὸ τῆς ἀορίστου δυάδος, οἷον τόπος καὶ κενὸν καὶ ἄπειρον, τὰ δ' ἀπὸ τῶν ἀριθμῶν καὶ τοῦ ἑνός, οἷον ψυχὴ καὶ ἄλλ' ἄττα: χρόνος θ' ἅμα καὶ οὐρανὸς καὶ ἕτερα δὴ πλείω· τοῦ δ' οὐρανοῦ πέρι καὶ τῶν λοιπῶν οὐδεμίαν ἔτι ποιοῦνται μνείαν. Ὡσαύτως δ' οὐδ'οἱ περὶ Σπεύσιππον, οὐδὲ τῶν ἄλλων οὐθεὶς πλὴν Ξενοκράτης· οὗτος γὰρ ἅπαντά πως περιτίθησιν περὶ τὸν κόσμον, ὁμοίως αἰσθητὰ καὶ νοητὰ καὶ μαθηματικὰ καὶ ἔτι δὴ τὰ θεῖα. Πειρᾶται δὲ καὶ Ἑστιαῖος μέχρι τινός, οὐχ ὥσπερ εἴρηται περὶ τῶν πρώτων μόνον. Πλάτων μὲν οὖν ἐν τῷ ἀνάγειν εἰς τὰς ἀρχὰς δόξειεν ἂν ἅπτεσθαι τῶν ἄλλων εἰς τὰς ἰδέας ἀνάπτων, ταύτας δ' εἰς τοὺς ἀριθμούς, ἐκ δὲ τούτων εἰς τὰς ἀρχάς, εἶτα κατὰ τὴν γένεσιν μέχρι τῶν εἰρημένων· οἱ δὲ τῶν ἀρχῶν μόνον—ἔνιοι δὲ καὶ τὴν ἀλήθειαν ἐν τούτοις· τὰ γὰρ ὄντα μόνον περὶ τὰς ἀρχάς. Συμβαίνει δὲ τοὐναντίον ἢ ἐν ταῖς ἄλλαις μεθόδοις· ἐν ἐκείναις γὰρ τὰ μετὰ τὰς ἀρχὰς ἰσχυρότερα καὶ οἷον τελεώτερα τῶν ἐπιστημῶν· τάχα δὲ καὶ εὐλόγως· ἔνθα μὲν γὰρ τῶν ἀρχῶν, ἐν δὲ ταῖς λοιπαῖς ἀπὸ τῶν ἀρχῶν ἡ ζήτησις.

Ama şimdi, 'bir'i ve 'belirsiz ikili'yi <ilke> yapanlar gibi pek çoğu belli bir noktaya geldiğinde orada durur. Nitekim <bunlar> sayıları, düzlemleri ve katı cisimleri türetmiş olarak geri kalan her şeyi bir kenara bırakıp yalnızca şu kadarını kavrayıp açıklarlar ki yer, boşluk ve sonsuz belirsiz ikiliden, ruh ve —zaman, gök ve pek çok diğerleri gibi— bazı başka şeyler ise sayılardan ve 'bir'den <çıkar>; gök ve diğer meselelere ise hiçbir şekilde daha fazla temas etmezler. Ne Speusippos'un etrafındakiler <bunu yapar>, ne de Ksenokrates hariç diğerleri. Nitekim o[1] *kosmos* hakkında her şeyi bir biçimde yerli yerine oturtmuştu—duyulur ve düşünülür olanlar, matematiğin nesneleri ve dahası, tanrısal olanlar. Hestaios[2] da belli bir noktaya kadar <bunu yapmayı> dener, yani, söylendiği üzere, yalnızca aslolan hakkında <konuşmaz>. İmdi <varolanları> ilkelere indirgemede, Platon, her şeyi *idea*lara <geri götürerek> diğerlerini[3] de ele alır görünüyor—bunları sayılara, onlardan ilkelere, sonra da, oluş sırasına göre sözü edilen noktaya kadar. Diğerleri ise yalnızca ilkelerden <bahsediyor>; bazıları hakîkatin bunlarda olduğunu, çünkü varolanların yalnızca ilkelerin etrafında sözkonusu olduğunu <söylüyor>. Öte yandan diğer araştırma yöntemlerinde[4] bunun tam tersi ortaya çıkıyor. Zira bunlarda ilkeleri izleyen bilgiler daha sağlam ve daha tam gibi oluyor. Ama belki de böyle olması makul. Nitekim burada araştırma bizzat ilkeler hakkında, kalanında ise <konu> ilkelerden hareketle <elde edilenler>.

---

[1] Ksenokrates.

[2] Platon'un öğrencilerinden biri.

[3] İlke olmayanlar.

[4] Ya da "disiplinlerde".

(14)[1] Πῶς δέ ποτε χρὴ καὶ ποίας τὰς ἀρχὰς ὑποθέσθαι, τάχ' ἂν ἀπορήσειέν τις, πότερον ἀμόρφους καὶ οἷον δυναμικάς, ὥσπερ ὅσοι πῦρ καὶ γῆν, ἢ μεμορφωμένας, ὡς μάλιστα δέον ταύτας ὡρίσθαι, καθάπερ ἐν τῷ Τιμαίῳ φησίν· τοῖς γὰρ τιμιωτάτοις οἰκειότατον ἡ τάξις καὶ τὸ ὡρίσθαι. (Φαίνεται δὲ καὶ ἐν ταῖς λοιπαῖς σχεδὸν ἔχειν οὕτω ˙πλὴν ὀλίγαις,˙ καθάπερ ἡ γραμματικὴ καὶ μου[σική, καὶ ταῖς μαθηματικαῖς, συνακολουθεῖ δὲ καὶ τὰ μετὰ τὰς ἀρχάς· ἔτι δὲ καὶ κατὰ τὰς τέχνας ὁμοίως, αἵπερ τὴν φύσιν μιμοῦνται: καὶ τὰ ὄργανα καὶ τὰ ἄλλα κατὰ τὰς ἀρχάς.) Οἱ μὲν οὖν ἐμμόρφους πάσας, οἱ δὲ μόνον τὰς ὑλικάς, οἱ δ' ἄμφω [τὰς τ' ἐμμόρφους καὶ τὰς τῆς ὕλης,] ὡς ἐν ἀμφοῖν τὸ τέλεον, οἷον γὰρ ἐξ ἀντικειμένων τὴν ἅπασαν οὐσίαν.

---

[1] **[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1078a36-b2]** τοῦ δὲ καλοῦ μέγιστα εἴδη τάξις καὶ συμμετρία καὶ τὸ ὡρισμένον, ἃ μάλιστα δεικνύουσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι.

****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 983b6-8] τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνας ὠήθησαν ἀρχὰς εἶναι πάντων.

[6b23] (14)[1] Belki de ilkelerin nasıl ve ne çeşit şeyler olarak konumlandırılacağı konusunda bir açmaza düşülebilir, acaba biçimsiz ve güçlü müdür, tıpkı ateş ve toprak gibi, yoksa biçimlenmiş mi? Nitekim <Platon'un> *Timaios*'ta söylediği gibi, bir anlamda en çok da bunların belirlenmiş olması gerekir, çünkü düzen ve belirlilik tam da en değerli olanlara özgüdür. (Bu, gramer ve müzik gibi küçük bir kısmı hariç, geriye kalan neredeyse tüm <bilgi türlerinde>, matematikte de, böyle görünür, ilkelerden sonra gelenler <ilkeleri> yakından takip eder. Dahası, zanaatler konusunda da benzer şekildedir ki, onlar da doğayı taklit eder; hem aletler hem diğerleri ilkelere karşılık gelir.) Öyleyse bazıları her şeyin biçimli olduğunu, bazıları yalnızca maddi olanların <var olduğunu söyler>, kimileriyse ikisinin bir aradalığının, yani hem biçimli hem maddi olanın ki, tam olan bu ikisinin bir aradalığındadır, nitekim tüm *ousia*lar karşıtlardan çıkar.

---

[1] [Aristoteles, *Metafizik*, 1078a36-b2] Güzel olanın en mükemmel biçimleri sıradüzeni, simetri ve belirlenmişliktir ki, bunları bilhassa matematik bilimler gözler önüne serer.

****

[Aristoteles, *Metafizik*, 983b6-8] Felsefeyle ilk uğraşanların pek çoğu her şeyin ilkelerinin yalnızca madde biçiminde olduğunu düşündüler.

(14.1)[1] Ἄλογον δὲ κἀκείνοις δόξειεν ἄν, εἰ ὁ μὲν ὅλος οὐρανὸς καὶ ἕκαστα τῶν μερῶν ἅπαντ' ἐν τάξει καὶ λόγῳ, καὶ μορφαῖς καὶ δυνάμεσιν καὶ περιόδοις, ἐν δὲ ταῖς ἀρχαῖς μηθὲν τοιοῦτον ἀλλ' ὥσπερ «σάρξ, εἰκῇ κεχυμένων ὁ κάλλιστος», ˹ὥς˺ φησιν Ἡράκλειτος, «κόσμος». Καὶ κατὰ τοὐλάχιστον δ' ὡς εἰπεῖν λαμβάνουσιν ὁμοίως ἐν ἀψύχοις καὶ ἐμψύχοις· ὡρισμέναι γὰρ ἑκάστων αἱ φύσεις ὡς εἰπεῖν καίπερ αὐτομάτως γινομένων, τὰς δ' ἀρχὰς ἀορίστους εἶναι.

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1062a30-35] ἀπόδειξις μὲν οὖν οὐδεμία τούτων ἐστὶν ἁπλῶς, πρὸς μέντοι τὸν ταῦτα τιθέμενον ἀπόδειξις. ταχέως δ᾽ ἄν τις καὶ αὐτὸν τὸν Ἡράκλειτον τοῦτον ἐρωτῶν τὸν τρόπον ἠνάγκασεν ὁμολογεῖν μηδέποτε τὰς ἀντικειμένας φάσεις δυνατὸν εἶναι κατὰ τῶν αὐτῶν ἀληθεύεσθαι: νῦν δ᾽ οὐ συνιεὶς ἑαυτοῦ τί ποτε λέγει, ταύτην ἔλαβε τὴν δόξαν.

[7a10] (14.1)[1] Öte yandan bir yanda bütün bir gök ve onun hem biçim, hem güç, hem de zaman dilimi bakımından tümüyle bir düzen ve bir oran içinde olan tek tek kısımları, diğer yandaysa —Herakleitos'un "en güzel *kosmos* rastgele saçılmış et[2] yığını"[3] sözlerindeki gibi— hiçbir şekilde böyle olmayan ilkeler olması bunlara bile akla aykırı görünebilir. Ayrıca bunu en küçük şeye kadar götürür ve hem canlı hem de cansız varolanlarda bunu bir anlamda benzer kabul ederler, çünkü <onlar için> her birinin doğası —kendiliğinden oluşmuş olsalar bile— belirlidir, ilkeler ise belirsiz.

---

[1] [Aristoteles, *Metafizik*, 1062a30-35] Öyleyse bunların mutlak bir tanıtlaması olmasa bile, bunları ortaya koyana karşı <*ad hominem*> bir ispat vardır. Ve bu şekilde bizzat Herakleitos'u sorgulayan biri bile, onu hızlıca <birbirine> zıt önermelerin aynı şeyler hakkında doğru olmasının hiçbir zaman mümkün olmadığını kabul etmeye mecbur bırakabilirdi. Öte yandan o, kendi sözlerinin ne anlama geldiğini anlamaksızın bu kanıyı benimsedi.

[2] Ya da "saman".

[3] Fr. 124 DK.

(14.2)[1] Χαλεπὸν δὲ πάλιν αὖ τὸ τοὺς λόγους ἑκάστοις περιθεῖναι πρὸς τὸ ἕνεκά του συνάγοντας ἐν ἅπασιν—καὶ ἐν ζῴοις καὶ φυτοῖς καὶ ἐν αὐτῇ πομφόλυγι—πλὴν εἰ συμβαίνει τῇ ἑτέρων τάξει καὶ μεταβολῇ μορφάς τε παντοίας καὶ ποικιλίας γίνεσθαι τῶν περὶ τὸν ἀέρα καὶ τὴν γῆν· ὧν δὴ μέγιστόν τινες παράδειγμα ποιοῦνται τὰ περὶ τὰς ὥρας τὰς ἐτησίους ἐν αἷς καὶ ζῴων καὶ φυτῶν καὶ καρπῶν γενέσεις, οἷον γεννῶντος τοῦ ἡλίου.

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1013a26-27] ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα, τοῦτο δ᾽ ἐστὶν ὁ λόγος τοῦ τί ἦν εἶναι καὶ τὰ τούτου γένη (οἷον τοῦ διὰ πασῶν τὸ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμός) καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ.

****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1071a13-16] ὥσπερ ἀνθρώπου αἴτιον τά τε στοιχεῖα, πῦρ καὶ γῆ ὡς ὕλη καὶ τὸ ἴδιον εἶδος, καὶ ἔτι τι ἄλλο ἔξω οἷον ὁ πατήρ, καὶ παρὰ ταῦτα ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, οὔτε ὕλη ὄντα οὔτ᾽ εἶδος οὔτε στέρησις οὔτε ὁμοειδὲς ἀλλὰ κινοῦντα.

[19] (14.2)[1] Yine, her durumda ereksel nedene toptancı bir indirgemeyle her bir şeye <kendi> *logos*unu kazandırmak da zor —hem hayvanlar, hem bitkiler, hem de bu kabarcıkta— meğer ki havadaki ve yerdeki nesneler hakkındaki her tür biçim ve çeşitlilik, düzen ve başka şeylerin değişimi sonucu meydana gelmiş olsun. Ki bunların bazıları yılın —hayvanların, bitkilerin ve meyvelerin oluşlarını kendi içinde barındıran— mevsimleri hakkında en büyük ilk örneği teşkil eder, Güneş'in <mevsimlerin> üreticisi olması gibi.

[1] [Aristoteles, *Metafizik*, 1013a26-27] Bir başka anlamda ise tür ve ilk örnek; bu ise neliğin ifadesi ve bunun cinsleri (sözgelişi bire-iki oranı ve genel olarak sayı oktavın nedenleridir) ve ifadenin kısımları.
****

[Aristoteles, *Metafizik*, 1071a13-16] Örneğin insanın nedenleri öğelerdir, madde olarak ateşle toprak ve ona özgü biçimdir, dahası, dışardan başka bir şey, sözgelişi baba ve bunların ötesinde güneş ve yatık çember—ne madde, ne biçim, ne yoksunluk, ne de eşbiçimlilik, fakat devindirici <olarak>.

(15) Καὶ ταῦτα μὲν ἐνταῦθά που ζητεῖ τὴν σκέψιν, ἀφορισμὸν ἀπαιτοῦντα μέχρι πόσου τὸ τεταγμένον καὶ διὰ τί τὸ πλέον ἀδύνατον ἢ εἰς τὸ χεῖρον ἡ μετάβασις,

(16)[1] ἐν δὲ ταῖς ἀρχαῖς, ὅθεν δὴ καὶ ὁ πρῶτος λόγος, εἰκότως ἄν τις καὶ τὸ περὶ τῆς ἠρεμίας ἀπορήσειεν. Εἰ μὲν γὰρ ὡς βέλτιον, ἀνάψειεν ἂν ταῖς ἀρχαῖς· εἰ δ' ὡς ἀργία καὶ στέρησίς τις κινήσεως, οὐκ ἀνάψει, ἀλλ' εἴπερ, τὴν ἐνέργειαν ἀντιμεταλλακτέον ὡς προτέραν καὶ τιμιωτέραν, τὴν δὲ κίνησιν [ἐν] τοῖς αἰσθητοῖς. Ἐπεὶ τό γε διὰ τοῦτ' ἠρεμεῖν—ὡς ἀδύνατον ἀεὶ κινούμενον εἶναι τὸ κινοῦν, οὐ γὰρ ἂν εἴη πρῶτον—κίνδυνος μὴ λογῶδες καὶ ἄλλως οὐκ ἀξιόπιστον, ἀλλὰ μείζω τινὰ αἰτίαν ζητεῖ.

(16.1)[2] Δοκεῖ δὲ καὶ ἡ αἴσθησις τρόπον τινὰ συναυδᾶν ὡς ἐνδεχόμενον μὴ δεῖν τὸ κινοῦν ἕτερον εἶναι καὶ ὃ κινεῖ διὰ τὸ ποιεῖν καὶ πάσχειν· ἔτι δ' ἐάν τις ἐπ' αὐτὸν ἄγῃ τὸν νοῦν καὶ τὸν θεόν.

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*. 1072a24-25] ἐπεὶ δὲ τὸ κινούμενον καὶ κινοῦν καὶ μέσον, τοίνυν ἔστι τι ὃ οὐ κινούμενον κινεῖ, ἀΐδιον καὶ οὐσία καὶ ἐνέργεια οὖσα.

[2] [Ἀριστοτέλης, *Φυσικὴ*, 259b1-3] ὁρῶμεν δὲ καὶ φανερῶς ὄντα τοιαῦτα ἃ κινεῖ αὐτὰ ἑαυτά, οἷον τὸ τῶν ἐμψύχων καὶ τὸ τῶν ζῴων γένος.

[7b5] (15) Bunlar da burada bir yerde incelenmeyi bekler, yani düzenlenmiş olanın ne dereceye kadar <düzenlenmiş olduğunun> sınırlarının belirlenmesini ve <bunun> daha öteye uzanmasının ya da dönüşümün aşağıya doğru olmasının niçin imkânsız olduğunun <açıklanmasını> talep eder.

[7b9] (16)[1] Tartışmanın asıl konusuna, yani ilkelere gelince, bunların durağanlığı konusunda pekâlâ bir açmaza düşülebilir. Zira eğer <durağanlık> bir anlamda daha iyi bir şeyse, ilkelerin <bir özelliği> sayılabilir, ama eğer aylaklık yahut devinimin bir nevi yoksunluğuysa, sayılamaz. Ama eğer daha önde gelen ve daha değerli bir şey olarak bir etkinliğin onların[2] yerini alması gerekiyorsa ve devinim de duyumsanabilir olanlara ilişkinse <durum başka>. Sonra, durağan olmayı bu sebebe —yani devindirenin de daima devindirilen bir şey olmasının imkânsız olması, aksi takdirde ilk olamayacak olmasıyla— dayandırmak, ikna edici olmaktan uzak boş laf addedilme tehlikesini barındırır ve daha fazla nedenle açıklanmayı bekler.

[19] (16.1)[3] Duyum da belli bir minvalde devindirenin —hem etkin hem edilgin olduğu için— devindirdiği şeyden farklı olmasının gerekli olmayabileceğine katılır. Dahası, eğer biri bunu düşünme yetisine (*nous*) ve tanrıya kadar götürse bile <bu doğru olabilir>.

---

[1] [Aristoteles, *Metafizik*, 1072a24-25] Mademki devindirilen hem devindiren hem orta, demek ki devindirilmeden devindiren bir şey var; ezeli olan, hem *ousia* hem de etkinlik olan.

[2] İlkelerin.

[3] [Aristoteles, *Fizik*, 259b1-3] Öte yandan kendi kendini devindiren varolanların sözkonusu olduğunu açıkça görürüz—sözgelişi canlıların ve hayvanların cinsleri.

(16.2)[1] Ἄτοπον δὲ καὶ τὸ ἕτερον λεχθέν, ὡς οὐ μιμοῦνται τὰ ὀρεγόμενα τοῦ ἠρεμοῦντος· τί γὰρ αὐτοῖς οὐ συνακολουθεῖ ἡ τῶν ἄλλων; Πλὴν ἴσως οὐχ ὁμοίως ληπτέον ὡς εἰς τὸ ἀμερὲς ἄγοντας, ἀλλ' ὅπως ὅ τι μάλιστα σύμφωνον ἑαυτῷ καὶ ἀπηρτισμένον ὡς ἂν πόλις ἢ ζῷον ἢ ἄλλο τι τῶν μεριστῶν ᾖ καὶ ὁ ὅλος οὐρανός, ὃν δή φασιν εἶναι τελεώτατον.

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1073a3-11] ὅτι μὲν οὖν ἔστιν οὐσία τις ἀΐδιος καὶ ἀκίνητος καὶ κεχωρισμένη τῶν αἰσθητῶν, φανερὸν ἐκ τῶν εἰρημένων: δέδεικται δὲ καὶ ὅτι μέγεθος οὐδὲν ἔχειν ἐνδέχεται ταύτην τὴν οὐσίαν ἀλλ᾽ ἀμερὴς καὶ ἀδιαίρετός ἐστιν (κινεῖ γὰρ τὸν ἄπειρον χρόνον, οὐδὲν δ᾽ ἔχει δύναμιν ἄπειρον πεπερασμένον: ἐπεὶ δὲ πᾶν μέγεθος ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τοῦτο οὐκ ἂν ἔχοι μέγεθος, ἄπειρον δ᾽ ὅτι ὅλως οὐκ ἔστιν οὐδὲν ἄπειρον μέγεθος).

[23] (16.2)[1] Öte yandan diğer söylenen de saçma, yani durağan olana iştah duyanın onu taklit etmemesi. Zira niçin bunlar diğerleri tarafından takip edilmezler? Bunun dışında, belki de, en mükemmel olduğu söylenen bütün bir göğü kısımları olmayan bir şeye indirgeyerek <incelemek> yerine —*polis*, hayvan veya kısımlara sahip olan başka bir şey gibi— birbiriyle mümkün olduğunca ahenk içinde ve denk olan kısımlara sahip bir şey olarak ele almalı.

[1] [Aristoteles, *Metafizik*, 1073a3-11] Ki öyleyse ezeli ve devinimsiz olan ve duyumsanabilir olanlardan müstakil bir *ousia* var; söylenenlerden açık. Gösterildi ki bu *ousia*nın büyüklüğe sahip olması mümkün değil, zira o kısımsız ve bölünemezdir (zira sonsuz zaman boyunca devindirir, hiçbir sınırlı olansa sonsuz imkâna sahip değil, mademki her büyüklük ya sonsuz ya da sınırlı, sınırlı olan bu yüzden sonsuz büyüklüğe sahip olamaz, sonsuz olansa zaten büyüklüğe sahip değil ki, genel olarak hiçbir sonsuz büyüklük yoktur).

(17)[1] Ἐπιποθεῖ δέ τινα καὶ τὰ τοιάδε λόγον: πῶς ποτε τῶν ὄντων ὁ μερισμὸς εἰς ὕλην καὶ μορφήν; πότερον ὡς τὸ μὲν ὄν, τὸ δὲ μὴ ὄν, δυνάμει δ' ὂν καὶ ἀγόμενον εἰς ἐνέργειαν; ἢ ὂν μέν, ἀόριστον δέ, καθάπερ ἐν ταῖς τέχναις, ἡ δὲ γένεσις ἢ οὐσία γ' αὐτῶν τῷ μορφοῦσθαι κατὰ τοὺς λόγους; Ἀλλ' οὕτω γ' εἰς μὲν τὸ βέλτιον τάχ' ἂν ἡ μετάβασις εἴη, τὸ δ' εἶναι οὐθὲν ἂν ἧττον ἀληθὲς ὑπάρχοι κατ' αὐτήν (οὐ γὰρ ἂν οὐδὲ γίνοιτο μὴ ὑπαρχούσης), ἀλλὰ τὸ μήτε τόδε μήτε ποιὸν μήτε ποσόν, ὡς ἀόριστον τοῖς εἴδεσιν, δύναμιν δέ τιν' ἔχον. Ὅλως δὲ κατ' ἀναλογίαν ληπτέον ἐπὶ τὰς τέχνας καὶ εἴ τις ὁμοιότης ἄλλη.

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1029a20-21] λέγω δ᾽ ὕλην ἣ καθ᾽ αὑτὴν μήτε τὶ μήτε ποσὸν μήτε ἄλλο μηδὲν λέγεται οἷς ὥρισται τὸ ὄν.

[8a8] (17)[1] Bu da biraz daha temellendirilmeyi bekler, yani varolanların madde ve biçime nasıl bölümlenmiş olduğu. Acaba bir tarafta varolan, diğer tarafta ise var olmayan ama etkinliğe taşınmakta olan bir imkân halinde olan mı var? Yoksa <bu>, tıpkı zanaatlerde olduğu gibi belirsiz olan, ama *logos*u uyarınca kendi biçimini alarak oluşu ya da varlığı sözkonusu olacak olan bir varolan mı? Ama bu şekilde dönüşüm belki de daha iyiye doğru olacak, ama bunun[2] içkin olduğu şeylere karşılık gelecek biçimde söylenen nelik[3] hiçbir şekilde daha az doğru olmayacak (zira <madde> bulunmasaydı hiçbiri varlığa gelemezdi), öte yandan bu, biçim (*eidos*) bakımından belirsiz olan, ne bir bu-belirli-şey olan, ne bir niteliği ne de bir niceliği olan, ama belli bir imkâna sahip olan bir şey olabilir. Genel olarak ise, <bu meseleyi> zanaatlere (ya da başka bir benzerlik varsa ona) karşılık gelen bir benzetmeyle kavramalı.

[1] [Aristoteles, *Metafizik*, 1029a20-21] Maddeden, kendi başına nesne, nicelik, ya da varolanı belirlediği söylenen diğer <kategorilerden> biri olmayanı kastediyorum.

[2] Maddenin.

[3] Ya da "olmaklık".

(18)[1] Δόξειεν δ' ἂν καὶ τοῦτ' ἔχειν ἀπορίαν, εἰ μὴ ἄρα περιεργία τὸ ζητεῖν, τί δή ποτε ἡ φύσις καὶ ἡ ὅλη δ' οὐσία τοῦ παντὸς ἐν ἐναντίοις ἐστίν, καὶ σχεδὸν ἰσομοιρεῖ τὸ χεῖρον τῷ βελτίονι, μᾶλλον δὲ καὶ πολλῷ πλέον ἐστίν, ὥστε δοκεῖν καὶ Εὐριπίδην καθόλου λέγειν ὡς οὐκ ἂν γένοιτο | χωρὶς ἐσθλά. Ὁ δὲ τοιοῦτος λόγος ἐγγὺς τοῦ ζητεῖν ὅ τι οὐ πάντ' ἀγαθὰ οὐδὲ πάντα ὅμοια, καὶ ὅ τι κατὰ πάντων μὲν τὸ εἶναι λέγομεν, οὐθὲν δὲ ὅμοιον ἀλλήλοις, καθάπερ τὰ λευκὰ καὶ μέλανα ἐν αὐτοῖς.

(18.1) Ἔτι δὲ τὸ δοκοῦν παραδοξότερον, ὡς οὐχ οἷόν τε τὸ ὂν ἄνευ τῶν ἐναντίων.

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 986b3] … οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο.
****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1005a3-5] πάντα γὰρ ἢ ἐναντία ἢ ἐξ ἐναντίων, ἀρχαὶ δὲ τῶν ἐναντίων τὸ ἓν καὶ πλῆθος.
****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 984b32-985a2] ἐπεὶ δὲ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο ἐν τῇ φύσει, καὶ οὐ μόνον τάξις καὶ τὸ καλὸν ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν, καὶ πλείω τὰ κακὰ τῶν ἀγαθῶν καὶ τὰ φαῦλα τῶν καλῶν, οὕτως ἄλλος τις φιλίαν εἰσήνεγκε καὶ νεῖκος, ἑκάτερον ἑκατέρων αἴτιον τούτων.

[21] (18)[1] Bunun da, eğer soruşturmak işgüzarlık olmayacaksa, bir açmaza yol açtığı düşünülebilir ki, doğa ve evrenin bütün bir varlığı niçin karşıtlar üzerine kuruludur ve niçin neredeyse her zaman daha iyiyi daha kötü olan karşılar ve durum eşitlenir (ya da çok daha fazlası) de, Euripides bile "hayırlı şeyler vuku bulamaz yalnız başına" derken tümel bir şey söylemiş görünür? Öte yandan, bu gibi bir akıl yürütme her şeyin niçin iyi ve aynı olmadığını ve her şeyin neliğinden söz ederken, bunların hiçbirinin niçin tıpkı bünyesinde siyah ve beyazı barındıranlar gibi birbirine benzer olmadığını sormaya oldukça yakındır.
[8b4] (18.1) Sonra, daha *paradoksal* görünen ise, varolanın karşıtlar olmadan sözkonusu olmaması.

---

[1] [Aristoteles, *Metafizik*, 986b3] ... Pythagorasçılar ise karşıtlıkların kaç tane ve ne olduklarını dile getirmiştir.
****

[Aristoteles, *Metafizik*, 1005a3-5] Zira her şey ya karşıtlardır ya da karşıtlardan <çıkar>, karşıtların ilkeleri ise 'bir' ve 'çok'.
****

[Aristoteles, *Metafizik*, 984b32-985a2] Mademki doğada iyi olana karşıt olanların da var olduğu aşikâr, yani yalnızca güzel olan ve düzen değil ama çirkin olan ve düzensizlik de <var>, ve iyiden daha fazla kötü ve güzelden daha fazla kusurlu olan, bu bağlamda başka biri dostluk ve kini önümüze koymuştur—ikisinden biri bunların her birinin nedeni olarak.

(18.2)[1] Οἱ δ' ἔτι πλέονι τῷ παραδόξῳ χρώμενοι καὶ τὸ μὴ ὂν μηδὲ γεγονὸς μηδὲ μέλλον προσκαταριθμοῦσιν εἰς τὴν τοῦ παντὸς φύσιν. Ἀλλ' ἥδε μὲν οἷον ὑπερβατός τις σοφία, τὸ δὲ ὂν ὅτι πολλαχῶς, φανερόν. Ἡ γὰρ αἴσθησις καὶ τὰς διαφορὰς θεωρεῖ καὶ τὰς αἰτίας ζητεῖ· τάχα δ' ἀληθέστερον εἰπεῖν ὡς ὑποβάλλει τῇ διανοίᾳ τὰ μὲν ἁπλῶς ζητοῦσα, τὰ δ' ἀπορίαν ἐνεργαζομένη, δι' ἧς, κἂν μὴ δύνηται προβαίνειν, ὅμως ἐμφαίνεταί τι φῶς ἐν τῷ μὴ φωτὶ ζητούντων ἐπὶ πλέον. Τὸ ἐπίστασθαι ἄρα οὐκ ἄνευ διαφορᾶς τινος. Εἴ τε γὰρ ἕτερα ἀλλήλων διαφορά τις, ἔν τε τοῖς καθόλου πλειόνων ὄντων τῶν ὑπὸ τὰ καθόλου διαφέρειν ἀνάγκη καὶ ταῦτα, ἐάν τε γένη τὰ καθόλου ἐάν τ' εἴδη.

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1003b5-10] οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μὲν ἀλλ᾽ ἅπαν πρὸς μίαν ἀρχήν: τὰ μὲν γὰρ ὅτι οὐσίαι, ὄντα λέγεται, τὰ δ᾽ ὅτι πάθη οὐσίας, τὰ δ᾽ ὅτι ὁδὸς εἰς οὐσίαν ἢ φθοραὶ ἢ στερήσεις ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ οὐσίας ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων τινὸς ἀποφάσεις ἢ οὐσίας: διὸ καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν.

[8b6] (18.2)[1] Sonra, daha öte bir *paradoks*a yol açanlar ise, evrenin doğasına ne oluşmuş ne de oluşmaya yazgılı olan bir var olmayanı eklediler. Bu maksadını aşan bir nevi bilgelik olsa da, 'varolan'ın pek çok farklı anlamı olduğu açık. Zira algı da hem farkları inceler hem de nedenleri araştırır, ama belki de onun <asıl işinin>, mutlak anlamda sorgulayan ve —ilerleme kaydetmek mümkün olmasa bile— daha öteye uzanan soruşturmalar yaptıkça bir ışığın karanlıkta kalanı aydınlatmasını sağlayan açmazları işe koşan zihni kışkırtmak olduğunu söylemek daha doğru olsa gerektir. Bilmek, birtakım farklar olmadan sözkonusu olamaz. Nitekim eğer <varolanlar> birbirlerinden başkalarsa, birtakım farklar <sözkonusu demektir>, dahası, tümeller konusunda, eğer aynı tümelin altına düşen varolanlar birden fazlaysa, bu tümel ister tür olsun ister cins, bunların[2] birbirinden ayrılması zorunludur.

---

[1] [Aristoteles, *Metafizik*, 1003b5-10] Varolan da bu şekilde pek çok farklı anlama gelir, ama daima tek bir ilkeye ilişkin; nitekim bazılarına *ousia*lar oldukları için 'varolanlar' denirken, bazılarına *ousia*ların etkilenimleri/özellikleri oldukları için, bazılarına ise ya *ousia*ya giden bir yol oldukları, ya da *ousia*ların bozuluş, yoksunluk, nitelik, yapıcı veya olduruculan oldukları ya da *ousia*ya göre söylendikleri ya da bunların bazılarının veya *ousia*ların değillemesi (bu sebepten de var olmayanın var olmayan *olduğunu* söyleriz) oldukları için 'varolanlar' denir.

[2] Aynı tümelin altına düşen varolanların.

(18.3)[1] Σχεδὸν δὲ καὶ ἐπιστήμη πᾶσα τῶν ἰδίων· ἥ τε γὰρ οὐσία καὶ τὸ τί ἦν εἶναι καθ' ἕκαστον ἴδιον, τά τε θεωρούμενα καθ' ἑαυτὰ καὶ οὐ κατὰ συμβεβηκὸς ἂν τὶ κατὰ τινός.

[1] [Ἀριστοτέλης, *Τοπικά*, 101b19-23] ἐπεὶ δὲ τοῦ ἰδίου τὸ μὲν τὸ τί ἦν εἶναι σημαίνει, τὸ δ' οὐ σημαίνει, διῃρήσθω τὸ ἴδιον εἰς ἄμφω τὰ προειρημένα μέρη, καὶ καλείσθω τὸ μὲν τὸ τί ἦν εἶναι σημαῖνον ὅρος, τὸ δὲ λοιπὸν κατὰ τὴν κοινὴν περὶ αὐτῶν ἀποδοθεῖσαν ὀνομασίαν προσαγορευέσθω ἴδιον.

[8b20] (18.3)[1] Öte yandan, neredeyse tüm bilgiler *özgü*lüklere ilişkin. Zira her bir şeyin *ousia*sı ve neliği ona *özgü*dür, ayrıca ilineksel olarak değil de kendi başına incelenenler bir şeye karşılık gelen belli bir şey olarak <inceleniyor> olsalar gerektir.

[1] [Aristoteles, *Topikler*, 101b19-23] Mademki özgülükler bir yandan neliğe ilişkin, bir yandan da değil, 'özgü'yü önceden ifade ettiğimiz iki kısma ayıralım ve neliğe işaret edenin tanım olduğunu, geri kalanına ise bu durumlarda kullanılan ortak bir adlandırma gereği 'özgü' dendiğini söyleyelim.

(18.4)[1] Ὅλως δὲ τὸ ἐν πλείοσιν τὸ αὐτὸ συνι δεῖν ἐπιστήμης, ἤτοι κοινῇ καὶ καθόλου λεγόμενον ἢ ἰδίᾳ πως καθ' ἕκαστον, οἷον ἀριθμοῖς γραμμαῖς, ζῴοις φυτοῖς· τέλεος δ' ἡ ἐξ ἀμφοῖν. Εἰσὶ δ'ἔνιαι μὲν ὧν καθόλου τέλος (ἐν τούτῳ γὰρ τὸ αἴτιον), τῶν δὲ τὸ ἐν μέρει, καθ' ὅσα διαίρεσις εἰς τὰ ἄτομα, καθάπερ ἐν τοῖς πρακτοῖς καὶ ποιητοῖς· οὕτως γὰρ αὐτῶν ἡ ἐνέργεια. Ταὐτὸ δ' ἐπιστάμεθα καὶ οὐσίᾳ καὶ ἀριθμῷ καὶ εἴδει καὶ γένει καὶ ἀναλογίᾳ καὶ, εἰ ἄρα, παρὰ ταῦτα διαιρέσει, διὰ πλείστου δὲ τὸ κατ' ἀναλογίαν, ὡς ἂν ἀπέχοντες πλεῖστον, τὰ μὲν δι' ἡμᾶς αὐτούς, τὰ δὲ διὰ τὸ ὑποκείμενον, τὰ δὲ διὰ τἄμφω.

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1018a5-10] καὶ τὰ μὲν οὕτως λέγεται ταὐτά, τὰ δὲ καθ᾽ αὑτὰ ὁσαχῶσπερ καὶ τὸ ἕν: καὶ γὰρ ὧν ἡ ὕλη μία ἢ εἴδει ἢ ἀριθμῷ ταὐτὰ λέγεται καὶ ὧν ἡ οὐσία μία, ὥστε φανερὸν ὅτι ἡ ταυτότης ἑνότης τίς ἐστιν ἢ πλειόνων τοῦ εἶναι ἢ ὅταν χρῆται ὡς πλείοσιν, οἷον ὅταν λέγῃ αὐτὸ αὑτῷ ταὐτόν: ὡς δυσὶ γὰρ χρῆται αὐτῷ.

****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1016b31-35] ἔτι δὲ τὰ μὲν κατ᾽ ἀριθμόν ἐστιν ἕν, τὰ δὲ κατ᾽ εἶδος, τὰ δὲ κατὰ γένος, τὰ δὲ κατ᾽ ἀναλογίαν, ἀριθμῷ μὲν ὧν ἡ ὕλη μία, εἴδει δ᾽ ὧν ὁ λόγος εἷς, γένει δ᾽ ὧν τὸ αὐτὸ σχῆμα τῆς κατηγορίας, κατ᾽ ἀναλογίαν δὲ ὅσα ἔχει ὡς ἄλλο πρὸς ἄλλο.

[8b24] (18.4)[1] Genel olarak ise çoklukta 'aynı'yı bir arada görmek bilgiye ilişkin, bu ister ortak olarak söylenen tümel olsun, ister *özgü*n bir biçimde <söylenen> tek tekler, sözgelişi sayılar, çizgiler ve hayvanlar, bitkiler; tam <bilgi> ise bu ikisinden çıkan. Bir yanda ereği tümel olan bazıları vardır (zira 'neden' bunlarda <bulunur>), diğer yandaysa <ereği> —bölündükçe bölünemez olana[2] varan— tikel/kısmî olanlar, eylemler ve yapıp etmeler gibi, nitekim bunların etkinliği böyledir. 'Aynı'yı *ousia*, sayı, tür, cins, benzetme ve eğer varsa bunların ötesinde bir bölünme bakımından biliriz; en ötedekini ise benzetmeyle—bir yandan kendimize, diğer yandan konuya, bir diğer yandan da her ikisine birden mümkün olduğunca uzak bir şey olarak.

---

[1] [Aristoteles, *Metafizik*, 1018a5-10] Bazıları için bu şekilde 'aynı' deniyorken, bazıları içinse kendi gereği <aynı denir ve bunlar> 'bir'in farklı anlamları ile aynı sayıdadır. Çünkü maddeleri türce ve sayıca bir olanlar ve de *ousia*ları bir olanlar için 'aynı' denir. O halde açık ki 'aynılık' var olmak bakımından birden fazla olanlar yahut <bir tane olup> birden fazlaymış gibi ele alınanlar için (bir şeyin kendisiyle aynı olduğu söylendiğinde olduğu gibi, zira <bu durumda> aynı şey iki taneymiş gibi ele alınıyor) bir çeşit 'bir'liktir.

****

[Aristoteles, *Metafizik*, 1016b31-35] Dahası, bazı şeyler sayıca 'bir'dir, bazıları türce, bazıları cinsçe, bazılarıysa benzetme bakımından; sayıca <bir olanlar> maddesi 'bir' olanlar, türce <bir olanlar> ifadesi 'bir' olanlar, cinsçe bir olanlar kategorilerinin şekli aynı olanlar, benzetme bakımından <bir olanlar> ise aynı başka şeyle ilişkisi olanlardır.

[2] Ya da "bireye" (*atomon*).

(19)[1] Πλεοναχῶς δ' ὄντος τοῦ ἐπίστασθαι, πῶς ἕκαστα μεταδιωκτέον; Ἀρχὴ καὶ μέγιστον ὁ οἰκεῖος τρόπος, οἷον τὰ πρῶτα καὶ νοητά, καὶ τὰ κινητὰ καὶ ὑπὸ τὴν φύσιν, αὐτῶν τε τούτων τὰ ἐν ἀρχῇ καὶ ˹τὰ˺ ἑπόμενα μέχρι ζῴων καί φυτῶν καὶ ἐσχάτων τῶν ἀψύχων. Ἔστιν γάρ τι καθ' ἕκαστον γένος ἴδιον, ὥσπερ καὶ ἐν τοῖς μαθηματικοῖς· ἔχει δὲ καὶ αὐτὰ τὰ μαθήματα διαφορὰν καίπερ ὁμογενῆ πως ὄντα· διῄρηται δ' ἱκανῶς. Εἰ δὲ καὶ ἔνια γνωστὰ τῷ ἄγνωστα εἶναι, καθάπερ τινές φασιν, ἴδιος ἂν ὁ τρόπος εἴη, διαιρέσεως δέ τινος δεῖται· τάχα δ' ἐφ' ὧν ἐνδέχεται, κατ' ἀναλογίαν οἰκειότερον λέγειν ἢ αὐτῷ τῷ ἀγνώστῳ, καθάπερ εἴ τις τῷ ἀοράτῳ τὸ ὁρατόν.

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τά φυσικά*, 1026a23-27] ἀπορήσειε γὰρ ἄν τις πότερόν ποθ᾽ ἡ πρώτη φιλοσοφία καθόλου ἐστὶν ἢ περί τι γένος καὶ φύσιν τινὰ μίαν (οὐ γὰρ ὁ αὐτὸς τρόπος οὐδ᾽ ἐν ταῖς μαθηματικαῖς, ἀλλ᾽ ἡ μὲν γεωμετρία καὶ ἀστρολογία περί τινα φύσιν εἰσίν, ἡ δὲ καθόλου πασῶν κοινή).

[9a10] (19)[1] Bilmek pek çok farklı yoldan gerçekleşen bir şeyse, her birinin peşine nasıl düşülmeli? Başlangıç noktası ve en önemlisi, aslolan ve düşünülür olanlar, devingen olanlar ve doğanın altına düşenler, bunların arasında ise başta olanlar ve —hayvanlardan, bitkiler ve cansızlara kadar inen— bunları takip edenler gibi <her bir araştırma nesnesine> uygun bir yol tutmaktır. Nitekim her bir cinse *özgü* bir şey var, tıpkı matematiğin nesnelerinde olduğu gibi, öte yandan matematiğin kendisinde bile, bir biçimde türdeş olmasına rağmen, farklar sözkonusu (buna ilişkin yeterince ayrım yapıldı). Ama eğer bazı şeyler kimilerinin söylediği üzere bilinmeyen şeyler olarak biliniyorsa, onlara *özgü* olan <bu> yol olabilir, ama yine de, <bunlara ilişkin> birtakım ayrımlar gerekli. Ama belki de bunları, olabildiğince, —görüleni görünmez bir şey olarak gösterircesine— bilinmiyor olmalarından ziyade bir benzetmeyle ifade etmek daha uygun olabilir.

[1] [Aristoteles, *Metafizik*, 1026a23-27] Nitekim biri asıl felsefenin tümel olana yönelik mi, yoksa bir cinsin ve belli bir doğanın üzerine mi olduğu konusunda açmaza düşebilir (zira matematiğin dallarının hiçbiri de aynı tarzda değil, bir yandan geometri ve astronomi belli bir doğanın üzerinedir, ama öte yandan genel matematik hepsi için ortaktır).

(20a) Πόσοι δ' οὖν τρόποι καὶ ποσαχῶς τὸ εἰδέναι, πειρατέον διελεῖν.

(20b) Ἡ δ' ἀρχὴ πρὸς αὐτὰ ταῦτα καὶ πρῶτον τὸ ἀφορίσαι τί τὸ ἐπίστασθαι. Χαλεπώτερον δ' ἂν δόξειεν· οὐ γὰρ οἷόν τε καθόλου καὶ κοινόν τι λαβεῖν ἐν τοῖς πλεοναχῶς λεγομένοις.

[9a23] (20a) Öyleyse bilmenin kaç farklı yolu olduğunun ve onun kaç farklı anlamı olduğunun sınırlarını çizmeli. [9a25] (20b) Bunlara ilişkin başlangıç noktası ve ilk sorulacak olan bilmenin ne olduğu. Ama bunun daha zor olduğu düşünülebilir; zira pek çok farklı anlamı olan şeylerde tümel ve ortak olanı kavramak <kolay> değil.

(20c1)[1] ᾿Η καὶ τοῦτ᾽ ἄπορον ἢ οὐ ῥᾴδιόν γε εἰπεῖν μέχρι πόσου καὶ τίνων ζητητέον αἰτίας

---

[1] [Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1085a26-29] τοῦτο γὰρ μὴ χωριστοῦ μὲν ὄντος οὐδεμίαν ποιήσει ἀπορίαν: χωριστοῦ δέ, ὥσπερ οἱ ταῦτα λέγοντές φασι, τοῦ ἑνὸς καὶ τῶν ἀριθμῶν οὐ ῥᾴδιον λῦσαι, εἰ μὴ ῥᾴδιον δεῖ λέγειν τὸ ἀδύνατον.

****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 994b12-22] …οἱ τὸ ἄπειρον ποιοῦντες λανθάνουσιν ἐξαιροῦντες τὴν τοῦ ἀγαθοῦ φύσιν (καίτοι οὐθεὶς ἂν ἐγχειρήσειεν οὐδὲν πράττειν μὴ μέλλων ἐπὶ πέρας ἥξειν): οὐδ᾽ ἂν εἷς νοῦς ἐν τοῖς οὖσιν: ἕνεκα γάρ τινος ἀεὶ πράττει ὅ γε νοῦν ἔχων, τοῦτο δέ ἐστι πέρας: τὸ γὰρ τέλος πέρας ἐστίν… ἔτι τὸ ἐπίστασθαι ἀναιροῦσιν οἱ οὕτως λέγοντες, οὐ γὰρ οἷόν τε εἰδέναι πρὶν εἰς τὰ ἄτομα ἐλθεῖν: καὶ τὸ γιγνώσκειν οὐκ ἔστιν, τὰ γὰρ οὕτως ἄπειρα πῶς ἐνδέχεται νοεῖν;

****

[Ἀριστοτέλης, *τῶν μετὰ τὰ φυσικά*, 1006a6-9] ἀξιοῦσι δὴ καὶ τοῦτο ἀποδεικνύναι τινὲς δι᾽ ἀπαιδευσίαν: ἔστι γὰρ ἀπαιδευσία τὸ μὴ γιγνώσκειν τίνων δεῖ ζητεῖν ἀπόδειξιν καὶ τίνων οὐ δεῖ: ὅλως μὲν γὰρ ἁπάντων ἀδύνατον ἀπόδειξιν εἶναι (εἰς ἄπειρον γὰρ ἂν βαδίζοι, ὥστε μηδ᾽ οὕτως εἶναι ἀπόδειξιν).

****

